*ὀλίγους τῶν φιλοσόφων ἥδιον ἂν θεμένους τὸ μηδεμίαν
ἢ τὸ πάσας ἀληθεῖς εἶναι τὰς φαντασίας, καὶ μᾶλλον ἂν
οἷς ὕπαρ ἐντυγχάνουσι διαπιστήσαντας ἀνθρώποις καὶ
πράγμασι καὶ λόγοις ἁπλῶς ἅπασιν ἢ μίαν ἐκείνων ἀληθῆ
καὶ ὑπάρχουσαν εἶναι φαντασίαν πεισθέντας, ⟨ἃς⟩ λυτ-
τῶντες ἢ κορυβαντιῶντες ἢ κοιμώμενοι λαμβάνουσιν. ἃ* E
*τοίνυν ἔστι μὲν ἀναιρεῖν, ἔστι δ' ὡς *** οὐκ ἔστιν ἐπ-
έχειν περὶ αὐτῶν, εἰ μηδὲν ἄλλο, τήν γε διαφωνίαν ταύτην
λαβόντας αἰτίαν ἀποχρῶσαν ὑπονοίας πρὸς τὰ πράγματα
† καὶ οὐδὲ οὕτως ὑγιὲς οὐδέν, ἀσάφειαν δὲ καὶ ταραχὴν
ἔχοντα πᾶσαν; ταῖς μέν γε περὶ κόσμων ἀπειρίας καὶ
ἀτόμων φύσεως καὶ ἀμερῶν καὶ παρεγκλίσεων διαφοραῖς,
εἰ καὶ πάνυ πολλοὺς διαταράττουσιν, ἔνεστιν ὅμως παρα-
μυθία, τὸ μηδὲν ἐγγὺς εἶναι μᾶλλον δ' ὅλως ἐπέκεινα τῆς
αἰσθήσεως ἀπῳκίσθαι τῶν ζητουμένων ἕκαστον· ἡ δ'
ἐν ὀφθαλμοῖς αὕτη καὶ ἀκοαῖς καὶ χερσὶν ἀπιστία καὶ* F
*ἄγνοια καὶ ταραχὴ περὶ τὰ αἰσθητὰ καὶ τὰς φαντασίας,
εἴτ' ἀληθεῖς εἰσιν εἴτε ψευδεῖς, τίνα δόξαν οὐ σαλεύει;
ποίαν δ' οὐκ ἄνω καὶ κάτω ποιεῖ συγκατάθεσιν καὶ κρί-
σιν; εἰ γὰρ οὐ κραιπαλῶντες οὐδὲ φαρμακῶντες ἄνθρωποι
καὶ παρακόπτοντες ἀλλὰ νήφοντες καὶ ὑγιαίνοντες καὶ
γράφοντες περὶ ἀληθείας καὶ κανόνων καὶ κριτηρίων |* **1124**
*ἐν τοῖς ἐναργεστάτοις πάθεσι καὶ κινήμασι τῆς αἰσθή-
σεως ἢ τὸ ἀνύπαρκτον ἀληθὲς ἢ ψεῦδος καὶ ἀνύπαρκτον
ἡγοῦνται τὸ ἀληθές, οὐκ εἰ περὶ πάντων ἡσυχάζουσιν,
ἀλλ' εἴ τισιν ὅλως ἄνθρωποι συγκατατίθενται, θαυμάζειν
ἄξιον· οὐδ' ἄπιστον, εἰ μηδεμίαν κρίσιν ἔχουσι περὶ τῶν
φαινομένων, ἀλλ' εἰ τὰς ἐναντίας ἔχουσι. τοῦ γὰρ ἐναντία*